αἰῶνα τείνει; δημότης ἂν εὐτυχὴς
ζῆν ἂν θέλοιμι μᾶλλον ἢ τύραννος ὤν,
ᾧ τοὺς πονηροὺς ἡδονὴ φίλους ἔχειν,
ἐσθλοὺς δὲ μισεῖ κατθανεῖν φοβούμενος.
εἴποις ἂν ὡς ὁ χρυσὸς ἐκνικᾷ τάδε,
πλουτεῖν τε τερπνόν· οὐ φιλῶ ψόγους κλύειν
ἐν χερσὶ σῴζων ὄλβον οὐδ᾽ ἔχειν πόνους·
εἴη δ᾽ ἔμοιγε μέτρια μὴ λυπουμένῳ.
ἃ δ᾽ ἐνθάδ᾽ εἶχον ἀγάθ᾽ ἄκουσόν μου, πάτερ·
τὴν φιλτάτην μὲν πρῶτον ἀνθρώπῳ σχολὴν
ὄχλον τε μέτριον, οὐδέ μ᾽ ἐξέπληξ᾽ ὁδοῦ
πονηρὸς οὐδείς· κεῖνο δ᾽ οὐκ ἀνασχετόν,
εἴκειν ὁδοῦ χαλῶντα τοῖς κακίοσιν.
θεῶν δ᾽ ἐν εὐχαῖς ἢ λόγοισιν ἦ βροτῶν,
ὑπηρετῶν χαίρουσιν, οὐ γοωμένοις.
καὶ τοὺς μὲν ἐξέπεμπον, οἳ δ᾽ ἧκον ξένοι,
ὥσθ᾽ ἡδὺς αἰεὶ καινὸς ὢν καινοῖσιν ἦν.
ὃ δ᾽ εὐκτὸν ἀνθρώποισι, κἂν ἄκουσιν ᾖ,
δίκαιον εἶναί μ᾽ ὁ νόμος ἡ φύσις θ᾽ ἅμα
παρεῖχε τῷ θεῷ. ταῦτα συννοούμενος
κρείσσω νομίζω τἀνθάδ᾽ ἢ τἀκεῖ, πάτερ.
ἔα δ᾽ ἔμ᾽ αὐτοῦ ζῆν· ἴση γὰρ ἡ χάρις,
μεγάλοισι χαίρειν σμικρά θ᾽ ἡδέως ἔχειν.

ΧΟ. καλῶς ἔλεξας, εἴπερ οὓς ἐγὼ φιλῶ
ἐν τοῖσι σοῖσιν εὐτυχήσουσιν λόγοις.

ΞΟΥ. παῦσαι λόγων τῶνδ᾽, εὐτυχεῖν δ᾽ ἐπίστασο·
θέλω γὰρ οὗπέρ σ᾽ εὗρον ἄρξασθαι, τέκνον,
κοινῆς τραπέζης δαῖτα πρὸς κοινὴν πεσών,
θῦσαί θ᾽ ἅ σου πρὶν γενέθλι᾽ οὐκ ἐθύσαμεν.
καὶ νῦν μὲν ὡς δὴ ξένον ἄγων σ᾽ ἐφέστιον
δείπνοισι τέρψω· τῆς δ᾽ Ἀθηναίων χθονὸς

---

625. *δημότης* Stobaeus, *δημότης δ᾽* libri. 627. 28. *οἷς — μισεῖν — φοβουμένους* Stobaeus. 630. *ψόγους*] Brodaeus, *ψόφους* libri. 632. *εἴη δ᾽ ἔμοιγε*] Lentingius, *εἴη γ᾽ ἐμοί* libri. 634. *ἀνθρώπῳ*] Badhamus, *ἀνθρώπων* libri. 638. *ἢ λόγοισιν ἦ*] Musgravius, *ἢ γόοισιν ἢ* libri. 646. *ἔμ᾽ αὐτοῦ*] Badhamus, *ἐμαυτῷ* libri. 649. *φίλοις B φίλοις γρ. λόγοις C* 651. *ἐλθών B θέλω C*